www.tezaurliturgic.ro

# ΟΙ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ ΚΔ΄ ΟΙΚΟΙ
# Ἠ ΧΑΙΡΕΤΙΣΜΟΙ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ
# ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΚΑΙ ΙΑΜΑΤΙΚΟΝ

# ΠΑΝΤΕΛΕΗΜΟΝΑ



www.tezaurliturgic.ro

## *Κοντάκιον*

### *Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τῷ Ἀναργύρῳ ἐν ᾠδαῖς καί θείοις ᾄσμασι, νῦν μελῳδήσωμεν πιστοί ὕμνον ἐπάξιον, ἱεροῖς ἐν ἐφυμνίοις οἰκολογοῦντες, ὡς λαμπρότατον Μαρτύρων ἐγκαλλώπισμα, καί προστάτην ἡμῶν πάντων τε καί καύχημα, πόθῳ κράζοντες· Χαῖρε Παντελεῆμον ἔνδοξε.

## *ΟΙ ΚΔ΄ ΟΙΚΟΙ.*

Ἄνωθέν σου ἡ κλῆσις ὥσπερ Παύλου τό πάλαι, ἐγένετο μάρτυς Παντελεῆμον· (ἐκ γ΄) καί χάριν ἰαμάτων εἰληφώς, ἀναργύρως τοῖς νοσοῦσι τήν ῥῶσιν παρέχεις, διό σοι προσφωνῶ τοιαῦτα:
χαῖρε ἀδάμας τῆς εὐσεβείας,
χαῖρε τό τεῖχος τῆς ἐκκλησίας·
χαῖρε μαρτύρων τῶν σεπτῶν ἡ στεῤῥότης,
χαῖρε Ἁγίων καθαρῶν ἡ ἀκρότης·
χαῖρε νεανία τερπνέ τε καί πάγκαλε,
χαῖρε ἀθλητά τοῦ Χριστοῦ ὡραιότατε·
χαῖρε ἄνθρωπε ἐγκόσμιε, ὑπερκόσμιος φανείς,
χαῖρε Ἄγγελε ἐν σώματι ὑπερβαίνων τούς βροτούς·
χαῖρε στεῤῥόν τῆς πίστεως ἔρεισμα,
χαῖρε λαμπρόν φρονήσεως ὅρισμα·
χαῖρε δι᾽ οὗ ἡ πίστις ἀνυψώθη,
χαῖρε δι᾽ οὗ ἡ πλάνη κατεπτώθη.

### *Χαίροις Παντελεῆμον ἔνδοξε.*

Βλέπων σε ὁ Δεσπότης ἐκλογῆς σκεῦος μέγα, ἠράσθη τῆς ψυχῆς σου τῇ ὥρᾳ, γεηράν γάρ πᾶσαν ἡδονήν καί δόξαν ὑπεριδών, στέφει μαρτύρων ἠράσθης στέφεσθαι, πτερωθείς θείῳ ἔρωτι, καί ἔνθους ψάλλων:

### *Ἀλληλούϊα.*

Γνῶσιν ἔνθεον ἔχων, ἀθλοφόρων τό κλέος, Παντελεήμων τῷ Μαξιμιανῷ ἔφη· ἐξ ἀψύχων ὑλῶν πῶς ἐστί γενέσθαι τόν Θεόν; λέξον μοι· διό ἄξιον ἀκούειν παρ᾽ ἡμῶν τοιαῦτα:
χαῖρε ἀπειλάς Μαξιμίνου σοβήσας,
χαῖρε τάς βουλάς ἀσεβῶν καταργήσας·
χαῖρε ὁ φυτοκόμος ὀρθοδόξου λατρείας,
χαῖρε ὁ ῥιζοτόμος τῆς δαιμόνων λατρείας·

www.tezaurliturgic.ro

χαῖρε Νικομηδείας λαμπτήρ παμφαέστατος,
χαῖρε τῆς ἀριζήλου σου ποίμνης φύλαξ ἄγρυπνος·
χαῖρε τῶν εἰδώλων καταβαλών τήν πλάνην,
χαῖρε τῶν τυράννων ἐξελέγξας τήν μάνην·
χαῖρε ὁ τυφλοῖς τό ὁρᾶν χαρισάμενος,
χαῖρε ὁ χωλοῖς εὐδρομεῖν βραβευσάμενος·
χαῖρε δι᾽ οὗ ἀθεΐα ἐφύγη,
χαῖρε δι᾽ οὗ Θεοῦ γνῶσις ἐφύη.

*Χαίροις Παντελεῆμον ἔνδοξε.*

Δύναμις τοῦ Ὑψίστου ἐπί σέ ἐπεδόθη, ὀλέσας τοῦ τυράννου τό θράσος Παντελεῆμον ἀθλητά, πυρός θηρῶν, καί τροχοῦ κατετόλμησας, καί ξίφει ἐκτμηθείς τήν κάραν σου, ἀνέπτης, κράζων τῷ Σωτῆρι:

*Ἀλληλούϊα.*

Ἔχουσα ἡ Μονή σου, τήν ἐρίτιμον κάραν σου Μάρτυς, θησαυρόν ὥσπερ μέγαν ἐγκαυχᾶται ἐν σοί ἀβρυνομένη χαίρουσα, καί πόθῳ σου τά θαύματα ὑμνοῦσα, εὐχαρίστως κράζει:
χαῖρε λαμπρόν ἀθλοφόρων κλέος,
χαῖρε τερπνόν ὀρθοδόξων εὖχος·
χαῖρε ἰαμάτων αὐχῶν τό κολλύριον,
χαῖρε ἀρωμάτων πλουτῶν ἀπό βάλσαμον·
χαῖρε εὔοσμον ἀλάβαστρον εὐωδιάζον ψυχάς,
χαῖρε ὅτι καθορώμενος ἱλαρύνεις νῦν ἡμᾶς·
χαῖρε ὁ ἀνταλλάξας τῶν φθαρτῶν τά οὐράνια,
χαῖρε ὁ καταῤῥάξας ἀσεβῶν τά συνέδρια.
χαῖρε συνεδριάζων τοῖς ἀΰλοις Ἀγγέλοις,
χαῖρε συγχοριάζων πολυμόχθοις Ἁγίοις·
χαῖρε δι᾽ οὗ ὁ Σατάν κατηργήθη,
χαῖρε δι᾽ οὗ ὁ Χριστός ἐδοξάσθη.

*Χαίροις Παντελεῆμον ἔνδοξε.*

Ζάλην ἄθεον ἔχων, λογισμῶν κακοδόξων, ὁ ἄφρων βασιλεύς ἐταράχθη, τοῦ τυφλοῦ ἀνάβλεψιν ἰδών, καί ἐχιδνοδηχθοῦς παιδός τήν ἔγερσιν μαθών· ἡμεῖς δέ τοῦ γενναίου ἀθλητοῦ τήν ἄδικον σφαγήν τιμῶντες, βοῶμεν τῷ Σωτῆρι:

www.tezaurliturgic.ro

*Ἀλληλούϊα.*

Ἡ τῆς Κάρας σου θήκη, κρήνη μύρου ἐδείχθη, ῥοιζοῦντος ἀπό τοῦ λιβάνου, καί τῶν πρώτων μύρων προχοή, νάρδον, κύπρον, κρόκον, σμύρναν, κινάμωμον, πηγάζουσα γνωρίζεται, τοῖς σοί βοῶσιν ἐκ ψυχῆς τοιάδε:
χαῖρε χριστέ μύρῳ κεχρισμένε,
χαῖρε ναέ καθιερωμένε·
χαῖρε ἡδονῶν τῶν γηΐνων πολέμιε,
χαῖρε ἀγαθῶν τῶν τῆς ὕλης ὑπέρτερε·
χαῖρε ὅτι κόσμον ἅπαντα κατεπάτησας ποσίν,
χαῖρε ὅτι δόξαν ῥέουσαν ἀπετίναξας εἰς γῆν·
χαῖρε ζωῆς μηδόλως φεισάμενος,
χαῖρε ἐχθρέ τοῦ σώματος ἄσπονδος·
χαῖρε ὁ τῶν τυράννων καταργήσας ἐνέδρας,
χαῖρε ὁ τῶν μαρτύρων κατοικῶν τάς καθέδρας·
χαῖρε ὁ σχών ἀπροσπάθειαν πάντων,
χαῖρε λαβών νίκην τῶν παθῶν πάντων.

*Χαίροις Παντελεῆμον ἔνδοξε.*

Θαῦμα μέγα ὁρᾶται, πῶς ἡ πάντιμος κάρα, κειμένη ἐν ἀργυρέᾳ θήκῃ, μύρων ἀναβλύζει πηγάς, οὐ τέχνῃ μυρεψικῇ, ἀλλά χάριτι ἥ σέ μύρῳ κατέχρισεν, ὡς ἄνακτα παθῶν βοῶντα:

*Ἀλληλούϊα.*

Ἴδε φῶς παραδόξως, ὁ τυφλός τῶν ὀμμάτων, ἀφῇ σου τῆς χειρός ἀθλοφόρε· παρ' Ἑρμολάου γάρ διδαχθείς, τήν μητρικήν ἀντελάβου εὐσέβειαν καί ἀναργύρως ἅπαντας ἰώμενος τῇ ἐπικλήσει μόνῃ Χριστοῦ ἀκούεις ταῦτα:
χαῖρε Θεοῦ ὁ ἐμμανικός ἔρως,
χαῖρε Χριστοῦ ὁ πρηστήριος πόθος·
χαῖρε τῆς ἀγάπης τῆς θείας πῦρ ἄσβεστον,
χαῖρε τοῦ Δεσπότου φίλτρον ἀκόρεστον·
χαῖρε ὅτι πάντα δέδωκας καί ὠνήσω τόν Χριστόν,
χαῖρε ὅτι τρυφάς ἥγησαι τά δεινά διά Θεόν·
χαῖρε σαρκός τόν πόθον, διά πόθου νικήσας,
χαῖρε κόσμου τήν φλόγα, διά φλογός ὁ σβέσας·
χαῖρε δωρεάν ἰώμενος ἅπαντας,
χαῖρε χαρᾶς πληρῶν τούς προστρέχοντας·
χαῖρε τά πάθη τοῦ Χριστοῦ ὁ βαστάσας,
χαῖρε αὐλαῖς πρωτοτόκων σκηνώσας.

www.tezaurliturgic.ro

*Χαίροις Παντελεῆμον ἔνδοξε.*

Κατεπλάγη τό μέγα τῆς ἀνδρείας σου θαῦμα, ὁ τύραννος ὦ Παντελεῆμον, καί τοῖς λόγοις σου ἐμβροντηθείς, ταῖς βασάνοις ᾤετο τόν τόνον τῆς ψυχῆς σου λύειν, ἀλλ᾽ ᾐσχύνθη, οὐ γάρ οἶδε τῷ Κυρίῳ ψάλλειν:

*᾽Αλληλούϊα.*

Λαμπροφώνως ἐβόας εἰς ἐπήκοον πάντων ἐν μέσῳ τοῦ σταδίου τρισμάκαρ, εἷς ὑπάρχει Θεός ἡ Τριάς ἡ τά πάντα ὑποστησαμένη, καί Θεός ἐστιν ὁ Χριστός· διό προσαγορεύομέν σε:
χαῖρε λαμπρέ τῆς Τριάδος κήρυξ,
χαῖρε τερπνή τῆς πίστεως σύριγξ·
χαῖρε ὁ πρό θανάτου ἐνεργῶν τά τεράστια,
χαῖρε καί μετά πότμον ἐκτελῶν τά θαυμάσια·
χαῖρε ὁ συνδουλεύων τοῖς ἀχράντοις Χερουβείμ,
χαῖρε ὁ συνδιάγων τοῖς ἀμώμοις Σεραφείμ·
χαῖρε χείλη οὐρανόβροντα τῆς Θεότητος Χριστοῦ,
Χαῖρε γλῶσσα ἡ μελλίρρυτος οἰκονομίας αὐτοῦ·
χαῖρε ὁ δημηγόρος τῆς ἄνω θεολογίας,
χαῖρε ὁ σοφός ῥήτωρ τῆς πιστῶν εὐσεβείας·
χαῖρε ὁ δούς τήν χάριν πᾶσι τοῖς προσιοῦσι,
χαῖρε ὅτι σύ πάρει ἀεί τοῖς σέ αἰνοῦσι.

*Χαίροις Παντελεῆμον ἔνδοξε.*

Μύρον ἐξεκενώθη τῇ ψυχῇ σου τρισμάκαρ, καυθέν τοῦ Παρακλήτου τῇ θέρμῃ· διό σου μετά πότμον τά ὀστᾶ ὀσμήν ἐκπέμπουσι, παθῶν δυσωδίαν ἐκδιώκοντα, καί ἴασιν βραβεύοντα τοῖς ἐκβοῶσιν:

*᾽Αλληλούϊα.*

Νέον αἷμα εὑρόντες τοῦ σοφοῦ ἀναργύρου βοῶμεν τόν ἐξόδιον ὕμνον, ἐξ ἀθέου τυράννου γάρ ἐσφάγη αὐθαδῶς, ὅτι οὐκ ἔθυσε τοῖς βδελυκτοῖς εἰδώλοις, ὅν ἀνυμνοῦντες θερμῶς βοῶμεν:
χαῖρε λαμπρόν εὐσεβούντων κλέος,
χαῖρε στεῤῥόν κλονουμένων τεῖχος·
χαῖρε χειμαζομένων ὁ ἀκύμαντος ὅρμος,
χαῖρε πεπλανημένων ὁδηγός καί προστάτης·
χαῖρε θηρίων ὁρατῶν καθαιρέτης,
χαῖρε δρακόντων ἀοράτων ὀλύτης·
χαῖρε τόξον τό ὀξύτατον ἐκδιώκον τούς ἐχθρούς,

www.tezaurliturgic.ro

χαῖρε πρέσβυς ὁ θερμότατος διασώζων τούς πιστούς·
χαῖρε ἀκτίς νοητοῦ στερεώματος,
χαῖρε ἀκτίς χριστωνύμου πληρώματος·
χαῖρε σοφῶν ὑπερβαίνων τήν γνῶσιν,
χαῖρε πιστῶν καταυγάζων τάς φρένας.

***Χαίροις Παντελεῆμον ἔνδοξε.***

Ξενηκούστων θαυμάτων αὐτουργός ἐγεγόνεις, καί ζῶν καί μετά θάνατον μάρτυς. Θεός γάρ οἶδε δοξάζειν τούς Αὐτόν ἀντιδοξάζοντας, καί διά σοῦ τάς ἰάσεις παρέχει πλουσίως τοῖς αὐτῷ βοῶσιν:

***Ἀλληλούϊα.***

Ὅλος ὤν ἐν τοῖς ἄνω, καί ἡμῖν κάτω πάλιν συνυπάρχων σοφέ Παντελεῆμον, ὤ θαῦμα ὑπερβαῖνον πᾶσαν ἔννοιαν καί ἀκοήν βροτῶν, πῶς καί νεκρός ἡμῖν, συμπαρῆς τῇ Κάρᾳ σου, ἡμεῖς δέ τό θαῦμα ἐκπληττόμενοι βοῶμεν:
χαῖρε σοφίας Θεοῦ ὁ πλήρης,
χαῖρε προνοίας αὐτοῦ ὁ μύστης·
χαῖρε ἀμαραντίνους δεξάμενος στεφάνους,
χαῖρε τούς ἀοιδίμους κατοικῶν νῦν θαλάμους·
χαῖρε ὁ φοινιχθείς τῷ Ἁγίῳ σου αἵματι,
χαῖρε ἁγιασθείς καί τῷ θείῳ σου σώματι·
χαῖρε ὅτι δόξα γέγονας οὐρανοῦ τε καί τῆς γῆς,
χαῖρε ὅτι χαράν ἤνεγκας καί Ἀγγέλοις καί βροτοῖς.
Χαῖρε γλυκύ τῶν νόων ἀγλάϊσμα,
χαῖρε ἡδύ ψυχῶν ἐγκαλλώπισμα·
χαῖρε δι᾽ οὗ ἡ ἐκκλησία χαίρει,
χαῖρε δι᾽ οὗ ἅπας κόσμος χορεύει.

***Χαίροις Παντελεῆμον ἔνδοξε.***

Πᾶσαν χάριν ἐδέξω, οὐρανόθεν ὦ μάρτυς Παντελεῆμον παράδοξα πράττειν· τόν ἀπρόσιτον γάρ ὡς Θεόν γεγονέναι ἔφης προσιτόν ἄνθρωπον· καί τοῦτον μέν ὑπάρχοντα Υἱόν Θεοῦ. Διό ᾄδωμεν Κυρίῳ οὕτως:

***Ἀλληλούϊα.***

Ῥήτορας πολυστρόφους, τούς τυράννους ἀσόφους, ἀπέδειξας Παντελεῆμον μάρτυς· ἀποροῦσι γάρ βλέπειν τό πῶς τῶν εἰδώλων πλάνην καταισχῦναι ἴσχυσας, ἡμεῖς δέ τό παράδοξον θαυμάζοντες ἐν σοί βοῶμεν:
χαῖρε τό θέατρον Ἀγγέλων,

χαῖρε τό θέαμα ἀνθρώπων· www.tezaurliturgic.ro
χαῖρε οὐρανίων Ἀγγέλων τό ἥδυσμα,
χαῖρε ἐπιγείων βροτῶν ἀγαλλίαμα·
χαῖρε ὅτι δόξα γέγονας οὐρανοῦ τε καί τῆς γῆς,
χαῖρε ὅτι χαράν ἤνεγκας καί Ἀγγέλοις καί βροτοῖς·
χαῖρε τοῦ ἄνω κόσμου ἐντρύφημα ὡραῖον,
χαῖρε τοῦ κάτω κόσμου σεμνολόγημα θεῖον·
χαῖρε δένδρον χαρίτων, πολλούς φέρον τούς καρπούς,
χαῖρε τῶν καλλινίκων σύ ὁ φέρων τούς βλαστούς·
χαῖρε τήν ῥῶσιν ἀσθενούντων παρέχων,
χαῖρε τοῖς πᾶσι τάς ἰάσεις βραβεύων.

***Χαίροις Παντελεῆμον ἔνδοξε.***

Σῶσον πάντας τούς πίστει, τῷ σεπτῷ σου τεμένει προστρέχοντας, ἀήττητε μάρτυς, καί παντοίων νόσων καί δεινῶν ἀπαλλαγήν καί κακῶν λύτρωσαι, παῤῥησίαν ἔχων πρός τόν Κύριον σώζειν τούς βοῶντας:

***Ἀλληλούϊα.***

Τεῖχος εἶ τῶν Μαρτύρων, σοφέ Παντελεῆμον, καί πάντων τῶν εἰς σέ προσφευγόντων· σύ γάρ τόν οὐρανοῦ καί γῆς ἀνεκήρυξας ποιητήν ἅπασι, καθεῖλες δέ τόν τύραννον, καί δαίμονας κατῄσχυνας, ἡμεῖς δέ σοι βοῶμεν:
χαῖρε ἁγνόν Θεοῦ καταγώγιον,
χαῖρε σεμνόν Χριστοῦ τό ἐκλόγιον·
χαῖρε ὅτι τό αἷμα γαλακτόμικτον ἔχεας,
χαῖρε ὅτι τό σῶμα τῷ θανάτῳ παρέδωκας·
χαῖρε πύργος ὁ φθάνων ἀπό γῆς πρός οὐρανόν,
χαῖρε ὅτι σύ ὑπάρχεις ἀθλοφόρων ὁ κανών·
χαῖρε ἔνθεος στήλη τῶν χαρίτων ὑπάρχων,
χαῖρε θείᾳ δυνάμει τῶν εἰδώλων κατάρχων·
χαῖρε ὁ τῆς ἀπάτης τήν πυράν κατασβέσας,
χαῖρε πολυθεΐας πλατυσμόν ὁ συστείλας·
χαῖρε ὁ Ἑρμολάου διδαχαῖς ὑπακούσας,
χαῖρε ὁ τῆς Εὐβούλης τῇ βουλῇ εὐπειθήσας.

***Χαίροις Παντελεῆμον ἔνδοξε.***

Ὕμνον ἅπαντες μάρτυς τῷ ἁγίῳ Ναῷ σου προσφέρομεν ἡμεῖς οἱ σοί δοῦλοι, δακρυῤῥόους δέ ᾠδάς ἄν προσφέρωμέν σοι, οὐδέν τελοῦμεν ἄξιον τοῦ κλέους σου πανένδοξε, ἀλλ᾽ οὖν βοῶμεν:

www.tezaurliturgic.ro

*᾿Αλληλούϊα.*

Φωτοφόρος ἡ θήκη τῆς παντίμου σου Κάρας ἐδείχθη σοφέ Παντελεῆμον, τοῖς προσιοῦσι χαράν καί ὑγείαν ἀπονέμει πᾶσι δαψιλῶς· ἡμεῖς δ᾿ οὖν προσιῶμεν ταύτῃ ἐκβοῶντες:
χαῖρε προσιόντων σοι ψυχῶν τό σωτήριον,
Χαῖρε προσφευγόντων ἀσφαλές παραμύθιον·
χαῖρε ὁ βασιλείας οὐρανῶν ἀπολαύσας,
χαῖρε τῆς αἰωνίου δόξης ὁ κοινωνήσας·
χαῖρε ὅτι τήν ὑφήλιον καταυγάζεις μυστικῶς,
χαῖρε ὅτι τήν περίγειον περιθέεις νοητῶς·
χαῖρε σκῆνος θείου πνεύματος διαμένον εἰς ᾀεί,
χαῖρε σκεῦος εἰσδεξάμενον ἰαμάτων προχοή·
χαῖρε λιμήν ποντοπόρων ἀχείμαστος,
χαῖρε λουτήρ τῶν πταιόντων καθάρσιος,
χαῖρε Θεοῦ ὁ ἄληκτος κληρονόμος·
χαῖρε Χριστοῦ ὁ θεῖος συγκληρονόμος,

**_Χαίροις Παντελεῆμον ἔνδοξε._**

Χάριν εἴληφας μάρτυς, ἀναργύρως ἰᾶσθαι τά πάθη τῶν ψυχῶν ἡμῶν καί σωμάτων, διό παράσχου ταύτην ἡμῖν τοῖς σοῖς δούλοις, καί δεῖξον ἡμᾶς τῇ σῇ χάριτι, ἐπάξιον Θεῷ κραυγάζειν ὕμνον:

*᾿Αλληλούϊα.*

Ψάλλοντές σου τήν χάριν, τῶν πολλῶν σου θαυμάτων, κροτοῦμεν ἐν Ναῷ σου ἁγίῳ, ἀνευφημοῦντες ἐκ ψυχῆς ὡς θερμόν προστάτην ἡμῶν, καί τῆς ποίμνης σου φύλακα, καί ᾄσμασιν ἐν χείλεσιν ἀνευφημοῦμεν:
χαῖρε τῆς εὐσεβείας σάλπιγξ ἡ εὔηχος,
χαῖρε τῆς ἀσεβείας πέλυξ ὁ δίστομος·
χαῖρε πτωχῶν προΐστωρ εὐμενέστατος,
χαῖρε χηρῶν ἰατρός εὐσυμπάθητος·
χαῖρε ἡμῖν χαρίζων χαρίτων τό πέλαγος,
χαῖρε πιστῶν πορίζων θαυμάτων τό ἔλεος·
χαῖρε ὁ μολύβδου βράσματι ἐμβληθείς διά Χριστόν,
χαῖρε ὁ θαλάσσης ὕδασι ποντισθείς διά Θεόν·
χαῖρε τῆς εὐσεβείας ἡ στερέμνιος βάσις,
χαῖρε τῆς ᾿Εκκλησίας ἡ θεόβρυτος βρύσις·
χαῖρε πηγή θαυμάτων ἀκένωτε,
χαῖρε ῥοή χαρίτων ἀένναε.

www.tezaurliturgic.ro
*Χαίροις Παντελεῆμον ἔνδοξε.*

Ὦ τρισόλβιε Μάρτυς ὁ λαμπρός μέν ἐν πᾶσι, λαμπρότερος δέ ἐν θαύμασι πέλων, (ἐκ γ΄.) δυσωδίαν πᾶσαν τῶν παθῶν, ψυχῶν καί σωμάτων ἡμῶν ἀπόσμηξον, καί εὐωδίας πλήρωσον Παντελεῆμον, τούς ἐκβοῶντας:

*Ἀλληλούϊα.*

***Εἶτα ψάλλομεν: Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.***

Τῷ Ἀναργύρῳ ἐν ᾠδαῖς καί θείοις ᾄσμασι, νῦν μελῳδήσωμεν πιστοί ὕμνον ἐπάξιον, ἱεροῖς ἐν ἐφυμνίοις οἰκολογοῦντες, ὡς λαμπρότατον Μαρτύρων ἐγκαλλώπισμα, καί προστάτην ἡμῶν πάντων τε καί καύχημα, πόθῳ κράζοντες· Χαῖρε Παντελεῆμον ἔνδοξε.

